καθῆκαν, εἷλκον δ᾽ εὐπτέρους ἐς αὐχένας.
καὶ ταῖς μὲν ἄλλαις ἄνοσος ἦν λοιβὴ θεοῦ·
ἣ δ᾽ ἕζετ᾽ ἔνθ᾽ ὁ καινὸς ἔσπεισεν γόνος,
ποτοῦ τ᾽ ἐγεύσατ᾽, εὐθὺς εὔπτερον δέμας
ἔσεισε κἀβάκχευσεν, ἐκ δ᾽ ἔκλαγξ᾽ ὄπα
ἀξύνετον αἰάζουσ᾽· ἐθάμβησεν δὲ πᾶς
θοινατόρων ὅμιλος ὄρνιθος πόνους.
θνήσκει δ᾽ ἀπασπαίρουσα, φοινικοσκελεῖς
χηλὰς παρεῖσα. γυμνὰ δ᾽ ἐκ πέπλων μέλη
ὑπὲρ τραπέζης ἧχ᾽ ὁ μαντευτὸς γόνος,
βοᾷ δέ· τίς μ᾽ ἔμελλεν ἀνθρώπων κτανεῖν;
σήμαινε, πρέσβυ· σὴ γὰρ ἡ προθυμία,
καὶ πῶμα χειρὸς σῆς ἐδεξάμην πάρα.
εὐθὺς δ᾽ ἐρευνᾷ γραῖαν ὠλένην λαβών,
ἐπ᾽ αὐτοφώρῳ πρέσβυν ὡς ἔχονθ᾽ ἕλοι.
ὤφθη δὲ καὶ κατεῖπ᾽ ἀναγκασθεὶς μόγις
τόλμας Κρεούσης πώματός τε μηχανάς.
θεῖ δ᾽ εὐθὺς ἔξω συλλαβὼν θοινάτορας
ὁ πυθόχρηστος Λοξίου νεανίας,
κἀν κοιράνοισι Πυθικοῖς σταθεὶς λέγει·
ὦ γαῖα σεμνή, τῆς Ἐρεχθέως ὕπο,
ξένης γυναικός, φαρμάκοισι θνήσκομεν.
Δελφῶν δ᾽ ἄνακτες ὥρισαν πετρορριφῆ
θανεῖν ἐμὴν δέσποιναν οὐ ψήφῳ μιᾷ,
τὸν ἱερὸν ὡς κτείνουσαν ἔν τ᾽ ἀνακτόροις
φόνον τιθεῖσαν. πᾶσα δὲ ζητεῖ πόλις
τὴν ἀθλίως σπεύσασαν ἀθλίαν ὁδόν·
παίδων γὰρ ἐλθοῦσ᾽ εἰς ἔρον Φοίβου πάρα,
τὸ σῶμα κοινῇ τοῖς τέκνοις ἀπώλεσεν.
*ΧΟ.* οὐκ ἔστ᾽ οὐκ ἔστιν θανάτου
παρατροπὰ μελέᾳ μοι·
φανερὰ γὰρ φανερὰ τάδ᾽ ἤδη
σπονδᾶς ἐκ Διονύσου

---

1205. *αἰάζουσ᾽· ἐθάμβησεν*] Heathius, *αἰάζουσα θάμβησεν* libri. 1227. *Φοίβου*] Matthiae, *φοῖβον* libri. 1232. *σπονδᾶς*] Hermannus, *σπονδάς* libri.